κρωσσούς θ᾽ ὑδρηλούς. ὦ ταλαίπωροι ξένοι.
τίνες ποτ᾽ εἰσίν; οὐκ ἴσασι δεσπότην
Πολύφημον οἷός ἐστιν, ἄξενον στέγην
τήνδ᾽ ἐμβεβῶτες καὶ Κυκλωπίαν γνάθον
τὴν ἀνδροβρῶτα δυστυχῶς ἀφιγμένοι.
ἀλλ᾽ ἥσυχοι γίγνεσθ᾽, ἵν᾽ ἐκπυθώμεθα
πόθεν πάρεισι Σικελὸν Αἰτναῖον πάγον.
ΟΔ. ξένοι, φράσαιτ᾽ ἂν νᾶμα ποτάμιον πόθεν
δίψης ἄκος λάβοιμεν, εἴτε τις θέλει
βορὰν ὀδῆσαι ναυτίλοις κεχρημένοις;
τί χρῆμα; Βρομίου πόλιν ἔοιγμεν εἰσβαλεῖν·
Σατύρων πρὸς ἄντροις τόνδ᾽ ὅμιλον εἰσορῶ.
χαίρειν προσεῖπα πρῶτα τὸν γεραίτατον.
ΣΕΙ. χαῖρ᾽, ὦ ξέν᾽, ὅστις δ᾽ εἶ φράσον πάτραν τε σήν.
ΟΔ. Ἴθακος Ὀδυσσεύς, γῆς Κεφαλλήνων ἄναξ.
ΣΕΙ. οἶδ᾽ ἄνδρα, κρόταλον δριμύ, Σισύφου γένος.
ΟΔ. ἐκεῖνος οὗτός εἰμι· λοιδόρει δὲ μή.
ΣΕΙ. πόθεν Σικελίαν τήνδε ναυστολῶν πάρει;
ΟΔ. ἐξ Ἰλίου τε κἀπὸ Τρωικῶν πόνων.
ΣΕΙ. πῶς; πορθμὸν οὐκ ᾔδεισθα πατρῴας χθονός;
ΟΔ. ἀνέμων θύελλαι δεῦρό μ᾽ ἥρπασαν βίᾳ.
ΣΕΙ. παπαῖ· τὸν αὐτὸν δαίμον᾽ ἐξαντλεῖς ἐμοί.
ΟΔ. ἦ καὶ σὺ δεῦρο πρὸς βίαν ἀπεστάλης;
ΣΕΙ. λῃστὰς διώκων, οἳ Βρόμιον ἀνήρπασαν.
ΟΔ. τίς δ᾽ ἥδε χώρα καὶ τίνες ναίουσί νιν;
ΣΕΙ. Αἰτναῖος ὄχθος Σικελίας ὑπέρτατος.
ΟΔ. τείχη δὲ ποῦ ᾽στι καὶ πόλεως πυργώματα;
ΣΕΙ. οὐκ εἴσ᾽· ἔρημοι πρῶνες ἀνθρώπων, ξένε.
ΟΔ. τίνες δ᾽ ἔχουσι γαῖαν; ἦ θηρῶν γένος;
ΣΕΙ. Κύκλωπες, ἄντρ᾽ ἔχοντες, οὐ στέγας δόμων.
ΟΔ. τίνος κλύοντες; ἢ δεδήμευται κράτος;
ΣΕΙ. νομάδες· ἀκούει δ᾽ οὐδὲν οὐδεὶς οὐδενός.
ΟΔ. σπείρουσι δ᾽, ἢ τῷ ζῶσι, Δήμητρος στάχυν;
ΣΕΙ. γάλακτι καὶ τυροῖσι καὶ μήλων βορᾷ.

93. τήν] Bothius, τήνδ᾽ libri. ἀνδροβρῶτα] corrector Palatinus, ἀνδροβῶτα libri. 107. τε] Hermannus, γε libri.